τὸν ὑπὸ λυττῶντος κυνὸς δεδηγμένον· ἀλλὰ καὶ ἤδη λυττῶντάς τι ὀνῆσαι πολλάκις ἀξιοπιστουμένη· τοῦτο μὲν οὖν ἐν τῇ καθόλου τὴν ζήτησιν ὁμοιότητος δύναται καὶ λέλεκται πρόσθεν ὡς ἡ τοιαύτη δύναμις ἐκ τῆς πείρας τε μόνης λαμβάνεται· καὶ πάντα τοῖς φασὶν ἀμέθοδα· εἰ δ᾽ οὖν τις χρήσαιτο πρὸς τοῦτο, δυνάμεως γνώσῃ· μετρίως ἐστὶ ξηραντικόν, πρὸς τὸ καὶ ῥυπτικὸν ἔχει τι· ταύτῃ τοι καὶ ἀλφοὺς καὶ ἐφήλιν ἀποκαθαίρει:

περὶ ἀλσίνης

Ἀλσίνη ἢ μυὸς ὦτα· ὁμοίαν ἔχει καὶ τοῦτο τὸ βοτάνιον τὴν δύναμιν τῇ ἑλξίνῃ ψύχουσά τε καὶ ὑγραίνουσα· ἔστι γὰρ οὐσίας ὑδατώδους ψυχρᾶς· διὸ καὶ χωρὶς στύψεως ἐμψύχει· καὶ ταύτῃ ἄρα προσίεται ζεούσαις ἁρμόττει φλεγμοναῖς· καὶ πρὸς ἐρυσιπέλατα τὰ μέτρια:

περὶ ἀμαράκου:

Ἀμάρακον θερμαίνει μὲν οὐκ ἀμυδρῶς· ξηραίνει δ᾽ οὐ σφοδρῶς· ἀλλ᾽ ἐν μὲν τῇ θερμότητι τῆς τρίτης ἐστὶ τάξεως· ἐν δὲ τῷ ξηραίνειν τῆς δευτέρας:

περὶ ἀμβροσίας:

Ἀμβροσία καλουμένη πλαττομένη δύναμιν ἔχει στύφουσάν τε καὶ ἀποκρουστικήν:

Ἄμι· τῆς πόας ἣν ἄμμι καλοῦσι τὸ σπέρμα μάλιστ᾽ ἐστὶ χρήσιμον· θερμαντικῆς καὶ ξηραντικῆς καὶ λεπτομεροῦς ὑπάρχον δυνάμεως· ἔστι δὲ καὶ γευομένοις ὑπόπικρόν τε καὶ δριμύ· καὶ διὰ τοῦτο καὶ οὐρητικόν τε καὶ διαφορητικόν· εἴη δ᾽ ἂν καὶ τὸ θερμαίνειν καὶ τὸ ξηραίνειν ἐν τῇ τρίτης τάξεως ἐπιτεταμένη:· ἄμι

περὶ ἀμαράντου:

Ἀμάραντον· δυνάμεως ἐστὶ λεπτυντικῆς καὶ τμητικῆς· ἔμμηνα γοῦν ἄγει σὺν οἴνῳ ποθεῖσα ἡ κόμη· καὶ θρόμβους αἵματος τήκει τοὺς πεπηγότας· οὐ τοὺς ἐν γαστρὶ μόνον ἀλλὰ καὶ τοὺς ἐν κύστει· χρὴ δὲ μᾶλλον τηνικαῦτα σὺν οἰνομέλιτι πίνειν· καὶ πάντων δ᾽ εἶναι ἀπολεῖ ῥευμάτων ξηραντικὴ πινομένη καταστόμαχος ὑπάρχουσα::

περὶ ἀμόργης::

Ἀμόργη· γεώδης ἐστὶ τὴν οὐσίαν θερμῆς· οὐ μὴν εἰς τοσοῦτόν γε μετέχουσα θερμότητος, ὡς δοκεῖν ἐν τοῖς φανερῶς· εἰ δὲ ἑψηθείη πολὺ δὴ μᾶλλον ἔτι παχυμερής τε γίνεται καὶ ξηρά· καὶ εἴη ἂν ἐν τῇ δευτέρας τάξεως τῶν θερμαινόντων τε καὶ ξηραινόντων· ἐν τε τελευτῶν ἑψημένη πως μᾶλλον· οὕτω γέ τοι καὶ τὰ τῶν ξηρῶν τῇ κράσει σωμάτων ἕλκη θεραπεύει· τὰ δ᾽ ἐν τοῖς ἄλλοις ἁπαλοῖς παροξύνει· ἐν τοιαύτῃ γάρ ἐστιν ὥσπερ ῥητίνη καὶ πίττα ξηρά

License: CC-BY-NC – Genève, Bibliothèque de Genève, Ms. gr. 42, f. f.%20105r – Galenus, De simplicium medicamentorum facultatibus (http://www.e-codices.ch/en/bge/gr0042/f.%20105r)